[illegible]

τοῦ ἀπὸ τῆς ΒΜ τετραγώνου πρὸς τὸ ἀπὸ τῆς ΗΝ τε-
τράγωνον· τοῦ δὲ τῆς ΒΔ πρὸς τὴν ΗΖ διπλασίων
ἐστὶν ὁ τοῦ ΑΒΓΔΕ πολυγώνου πρὸς τὸ ΖΗΘΙΚΛ πο-
λύγωνον· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΒΜ τετράγωνον
πρὸς τὸ ἀπὸ τῆς ΗΝ τετράγωνον, οὕτως τὸ ΑΒΓΔΕ
πολύγωνον πρὸς τὸ ΖΗΘΙΚΛ πολύγωνον. τὰ ἄρα
ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλα
ἐστὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· ὅπερ
ἔδει δεῖξαι :–



β Οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν δια-
μέτρων τετράγωνα· ἔστωσαν κύκλοι οἱ ΑΒΓΔ, ΕΖΗΘ·
διάμετροι δὲ αὐτῶν ἔστωσαν αἱ ΒΔ, ΖΘ· λέγω ὅτι
ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ
τῆς ΖΘ τετράγωνον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς
τὸν ΕΖΗΘ κύκλον· εἰ γὰρ μή ἐστιν ὡς τὸ ἀπὸ τῆς
ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ, οὕτως ὁ
ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον· ἔσται ὡς τὸ

ἀπὸ τῆς ΒΔ πρὸς τὸ ἀπὸ τῆς ΖΘ, οὕτως ὁ ΑΒΓΔ κύ-
κλος ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον
ἢ πρὸς μεῖζον· ἔστω πρότερον πρὸς ἔλασσον τὸ Σ· καὶ
ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ·
τὸ δὴ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ ΕΖΗΘ κύκλου· ἐπειδήπερ ἐὰν διὰ τῶν Ε Ζ Η Θ
σημείων ἐφαπτομένας τοῦ κύκλου διαγάγωμεν, τοῦ
περιγραφομένου περὶ τὸν κύκλον τετραγώνου ἥμι-
συ ἐστὶ τὸ ΕΖΗΘ τετράγωνον· τοῦ δὲ περιγραφέν-
τος τετραγώνου ἐλάττων ἐστὶν ὁ κύκλος· ὥστε τὸ
ΕΖΗΘ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστι τοῦ ἡ-
μίσεος τοῦ ΕΖΗΘ κύκλου· τετμήσθωσαν δίχα αἱ
ΕΖ ΖΗ ΗΘ ΘΕ περιφέρειαι κατὰ τὰ Κ Λ Μ Ν σημεῖα· καὶ
ἐπεζεύχθωσαν αἱ ΕΚ ΚΖ ΖΛ ΛΗ ΗΜ ΜΘ ΘΝ ΝΕ· καὶ
ἕκαστον ἄρα τῶν ΕΚΖ ΖΛΗ ΗΜΘ ΘΝΕ τριγώνων
μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ
κύκλου· ἐπειδήπερ ἐὰν διὰ τῶν Κ Λ Μ Ν σημείων
ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν καὶ ἀναπλη-
ρώσωμεν τὰ ἐπὶ τῶν ΕΖ ΖΗ ΗΘ ΘΕ εὐθειῶν παραλ-
ληλόγραμμα, ἕκαστον τῶν ΕΚΖ ΖΛΗ ΗΜΘ ΘΝΕ
τριγώνων ἥμισυ ἔσται τοῦ καθ' ἑαυτὸ παραλληλο-
γράμμου· ἀλλὰ τὸ καθ' ἑαυτὸ τμῆμα ἔλασσόν ἐστι τοῦ
παραλληλογράμμου· ὥστε ἕκαστον τῶν ΕΚΖ ΖΛΗ
ΗΜΘ ΘΝΕ τριγώνων ἥμισυ ἐστι τοῦ καθ' ἑαυτὸ
παραλληλογράμμου· ἀλλὰ τὸ καθ' ἑαυτὸ τμῆμα ἔ-
λασσόν ἐστι τοῦ παραλληλογράμμου· ὥστε ἕκαστον

[illegible]



BIBLIOTHECA BODLEIANA